UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XV. Quomodo Marinus apud Caesaream martyrio perfunctus est.

**urn:nbn:de:hbz:466:1-14478**

Visual Library

μιλιανὸς δὲ Καισαρείας τῆς Καππαδοκῶν· καὶ ἐπὶ τούτοις τῶν κατὰ Πόντον ἐκκλησιῶν, Γρηγόριος καὶ ὁ τούτου ἀδελφὸς Ἀθηνόδωρος, Ὠριγένους γνώριμοι. τῆς δὲ ἐπὶ Παλαιστίνης Καισαρείας Θεοκτίστου μεταλλάξαντος, διαδέχεται τὴν Ἐπισκοπὴν Δόμνος. βραχεῖ δὲ χρόνῳ τούτου διαγενομένου, Θεότεκνος ὁ καθ' ἡμᾶς, διάδοχος καθίσταται. τῆς δ' Ὠριγένους διατριβῆς καὶ οὗτος ἦν. ἀλλὰ καὶ ἐν Ἱεροσολύμοις ἀναπαυσαμένου Μαζαβάνου, τὸν θρόνον Ὑμέναιος ὁ καὶ αὐτὸς ἐπὶ πλείστοις τοῖς καθ' ὑμᾶς διαπρέψας ἔτεσι διεδέξατο.

## ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Ὅπως κατὰ Καισάρειαν Μαρῖνος ἐμαρτύρησεν.

ΚΑτὰ τούτους εἰρήνης ἁπανταχοῦ τῶν ἐκκλησιῶν οὔσης, ἐν Καισαρείᾳ τῆς Παλαιστίνης Μαρῖνος τῶν ἐν στρατείαις ἀξιώμασι τετιμημένων, γένει τε καὶ πλούτῳ περιφανὴς ἀνήρ, διὰ τὴν Χριστοῦ μαρτυρίαν τὴν κεφαλὴν ἀποτέμνεται, τοιᾶσδε ἕνεκεν αἰτίας. τιμή τις ἐστὶ παρὰ Ῥωμαίοις τὸ κλῆμα. οὗ τοὺς τυχόντας, φασὶν ἑκατοντάρχους γίνεσθαι. τόπου σχολάζοντος. ἐπὶ τοῦτο προκοπῆς τὸν Μαρῖνον ἡ τοῦ βαθμοῦ τάξις ἐκάλει. ἤδη τε μέλλοντα τῆς τιμῆς ἔχεσθαι, παρελθὼν ἄλλος πρὸ τοῦ βήματος, μὴ ἐξεῖναι μὲν ἐκείνῳ τῆς Ῥωμαίων μετέχειν ἀξίας κατὰ τοὺς παλαιοὺς νόμους. χριστιανῷ γε ὄντι καὶ τοῖς βασιλεῦσι μὴ θύοντι, κατηγόρει. αὐτῷ δὲ ἐπιβάλλειν τὸν κλῆρον. ἐφ' ᾧ κινηθέντα τὸν δικαστὴν, Ἀχαιὸς οὗτος ἦν, πρῶτον μὲν ἐρέσθαι ποίας ὁ Μαρῖνος γνώμης εἴη. ὡς δ' ὁμολογοῦντα χριστιανὸν ἐπιμόνως ἑώρα, τριῶν ὡρῶν ἐπιδοῦναι αὐτῷ εἰς ἐπίσκεψιν διάστημα· ἐκτὸς δῆτα γενόμενον αὐτὸν τοῦ δικαστηρίου, Θεότεκνος ὁ τῇδε Ἐπίσκοπος ἀφέλκει προσελθὼν δι' ὁμιλίας. καὶ τῆς χειρὸς λαβὼν, ἐπὶ τὴν ἐκκλησίαν προάγει. εἴσω τε πρὸς αὐτῷ στήσας τῷ ἁγιάσματι. μικρόν τε παραναστείλας αὐτοῦ τῆς χλαμύδος καὶ τὸ προσηρτημένον αὐτῷ ξίφος ἐπιδείξας, ἅμα τε ἀντιπαρατίθησι προσαγαγὼν αὐτῷ τὴν τῶν θείων Εὐαγγελίων γραφήν. κελεύσας τῶν δυεῖν ἑλέσθαι τὸ κατὰ γνώμην. ὡς δ' ἀμελλητὶ τὴν δεξιὰν προτείνας, ἐδέξατο τὴν θείαν γραφήν. ἔχου τοίνυν ἔχου, φησὶ πρὸς αὐτὸν ὁ Θεότεκνος, τοῦ

A metrianus regebat: apud Cæsaream Cappadociæ Firmilianus; in Ponto Gregorius fraterque ejus Athenodorus, ambo Origenis discipuli, ecclesias gubernabant. Apud Cæsaream autem Palæstinæ mortuo Theoctisto Sacerdotium suscepit Domnus. Quo non multò pòst ex hac vita sublato, Theotecnus qui ad nostram usque ætatem superfuit, in ejus locum subrogatus est. Hic quoque Origenis auditor fuisse dicitur. Hierosolymis verò post Mazabanis obitum, episcopalem sedem obtinuit Hymenæus, qui nostra etiam ætate plu-
B rimis laudum titulis inclaruit.

## Caput XV.

*Quomodo Marinus apud Cæsaream martyrio perfunctus est.*

INterea pace cunctis ubique ecclesiis reddita, apud Cæsaream Palæstinæ Marinus quidam militari dignitate decoratus, ad hæc splendore generis atque opibus clarus, ob confessionem Christi capite truncatus est hac de causa. Honor quidam est vitis apud Romanos, quam qui adepti
C sunt, Centuriones dicuntur. Hic locus cum vacaret, Marinus ordine gradus sui ad eam promotionem vocabatur. Verùm cùm honore illo jamjam potiturus esset: quidam ad tribunal accedens Marinum accusare cœpit, asserens illi quidem utpotè Christiano homini, & Imperatoribus sacrificare renuenti, Romanam dignitatem capessere legibus non licere; sibi verò gradum illum competere. Ea re commotus judex Achæus nomine, primùm quidem Marinum interrogavit cujusnam esset sententiæ. Cognito deinde quòd Christianum se esse constantissimè profiteretur, trium horarum spatium ad deli-
D berandum ei concessit. Proinde cum ex prætorio egressus esset, Theotecnus civitatis episcopus ad illum accedens, & sermocinando longiùs eum abstrahens, prehensa manu ad ecclesiam perducit. Cumq; interius ad ipsum altare eum statuisset; reducta tantisper ejus chlamyde, gladium illi quo præcinctus erat ostendens, mox sacrorum evangeliorum codicem ex adverso locat, jubens ut ex duobus utrum mallet eligeret. Marinus nihil cunctatus, protensa dextra Codicem cùm apprehendisset; his eum verbis Theotecnus compellavit. Adhære igitur, ad-

Huc refer Niceph. l. 6. c. 15.

hære Deo; ejusque virtute roboratus, consequere quod elegisti. Vade in pace. Posthæc regredientem illum ab ecclesia, præco pro foribus prætorii evocare cœpit. Jam enim præstitutum tempus effluxerat. Admotus igitur tribunali, cùm majorem quàm antea alacritatem fidei ostendisset, statim inde, ita ut erat, ad supplicium abductus, martyrio coronatus est.

A Θεοῦ, καὶ τύχοις ὧν εἵλου. πρὸς αὐτοῦ δυνα[μού]μενος, καὶ βάδιζε μετ' εἰρήνης. εὐθὺς ἐκ[...] ἐπανελθόντα αὐτὸν, κῆρυξ ἐβόα καλῶν πρ[ὸ τοῦ] δικαστηρίου· καὶ γὰρ ἤδη τὰ τῆς προθεσμίας [...] χρόνου πεπλήρωτο. καὶ δὴ παραστὰς τῷ δι[κα]στηρίῳ, καὶ μείζονα τῆς πίστεως τὴν προθυμ[ίαν] ἐπιδείξας, εὐθὺς ὡς εἶχεν ἀπαχθεὶς τῷ [...] θανάτῳ, τελειοῦται.

## Caput XVI.

*Narratio de Astyrio.*

Vide Niceph. l. 6. c. 14. Tunc & Asturius ob religiosam fiduciam ac libertatem celeberrimum nomen est consecutus: vir ex Romanæ urbis Senatoribus, Imperatoribus unicè carus: & cùm ob splendorem generis, tùm propter divitias omnibus notus. Qui cùm supradicti martyris supplicio interesset, humeris suis impositum cadaver candida ac pretiosa amictus veste bajulavit: & magnifico cultu ornatum, decenti tradidit sepulturæ. De hoc viro innumera quoque alia referuntur ab ejusdem familiaribus, qui ad nostram usque ætatem superstites vixerunt.

## ΚΕΦΑΛΑΙΟΝ ΙϚʹ.

*Ἡ κατ' Ἀστύριον ἱστορία.*

B Ἔνθα καὶ Ἀστύριος ἐπὶ τῇ θεοφιλεῖ πα[ρ]ρησίᾳ μνημονεύεται. ἀνὴρ τῶν ἐπὶ Ῥώ[μης] συγκλητικῶν γενόμενος, βασιλεῦσί τε προσ[φι]λὴς, καὶ πᾶσι γνώριμος εὐγενείας τε [ἕνεκα] καὶ περιουσίας· ὃς παρὼν τηνικάδε τελειουμ[ένῳ] τῷ μάρτυρι, τὸν ὦμον ὑποθεὶς, ἐπὶ λαμπ[ρᾶς] καὶ πολυτελοῦς ἐσθῆτος ἄρας τὸ σκῆνος [...] φέρεται περιστείλας τε εὖ μάλα πλουσίω[ς] προσηκούσῃ ταφῇ παραδίδωσι. τούτου μυ[ρία] μὲν καὶ ἄλλα μνημονεύουσιν οἱ τἀνδρὸς [...] μᾶς διαμείναντες γνώριμοι.

C

## Caput XVII.

*De miraculis Servatoris nostri apud Paneadem.*

Inter quæ hujusmodi est miraculum. Apud Cæsaream Philippi quam Phœnices Paneada nominant, ad pedes Panii montis, fontes visuntur, ex quibus profluit Jordanis. In hos festo quodam die victimam conjici solitam esse ajunt, quæ mirabili quadam dæmonis operatione nusquam postea compareret: eamque rem à spectantibus pro illustri miraculo haberi consuevisse. Quodam igitur tempore cùm Asturius his fortè cæremoniis interesset, cunctosque admiratione rei perculsos videret; primùm quidem cæcitatem vulgi miseratus est. Deinde oculis in cælum sublatis, supremum omnium Deum per Jesum Christum obtestatus est, ut dæmonem illum populi seductorem constringeret, & à decipiendis posthac mortalibus abstinere eum juberet. Peracta precatione, repente victimam fontibus supernatasse ajunt; atque ita miraculum ipsis prorsus intercidisse, nullo deinceps circa hunc locum prodigio viso.

## ΚΕΦΑΛΑΙΟΝ ΙΖʹ.

*Περὶ τοῦ κατὰ Πανεάδα σημείου τοῦ Σωτῆρος ἡμῶν μεγαλ[ουργίας].*

Ἀτὰρ καὶ παράδοξον τοιοῦτο. ἐπὶ τῆς [Φι]λίππου Καισαρείας ἣν Πανεάδα Φοί[νι]κες προσαγορεύουσι, φασὶ παρὰ ταῖς αὐτ[όθι] δεικνυμέναις ἐν ταῖς ὑπωρείαις τοῦ καλου[μέ]νου Πανείου ὄρους πηγαῖς, ἐξ ὧν καὶ τὸν Ἰορδ[άνην] προχεῖσθαι. κατά τινα ἑορτῆς ἡμέραν, σφά[γιόν] τι καταβάλλεσθαι. καὶ τοῦτο τῇ τοῦ δαίμονος [δυ]νάμει ἀφανὲς γίνεσθαι παραδόξως. θαῦμα [δ'] εἶναι περιβόητον τοῖς παροῦσι τὸ γινόμενον. [θεω]ροῦντα δ' οὖν ποτε τοῖς πραττομένοις τὸν [Ἀ]D στύριον, καὶ τὸ πρᾶγμα καταπληττομένους [ὁρῶν]τα τοὺς πολλοὺς, οἰκτεῖραι τῆς πλάνης. κᾄπ[ειτα] ἀνανεύσαντα εἰς οὐρανὸν, ἱκετεῦσαι διὰ [Χρι]στοῦ τὸν ἐπὶ πάντων Θεὸν, τὸ λαοπλάνον [δαι]μόνιον ἀπελέγξαι καὶ παῦσαι τῆς τῶν ἀνθρώ[πων] πων ἀπάτης. ταῦτα δέ φασιν εὐξαμένου, [ἀ]θρόως τὸ ἱερεῖον ἐπιπολάσαι ταῖς πηγ[αῖς] οὕτω τε αὐτοῖς τὸ παράδοξον οἴχεσθαι, μηδ[ενὸς] μηκέτι θαύματος περὶ τὸν τόπον γινομένου.

ΚΕΦΑ